τοιοῦτος μέγα δύναται ἐν τῇ πόλει ταύτῃ i), εἴπερ ἐστὶ τὸ μέγα δύνασθαι ἀγαθόν τι, κατὰ τὴν σὴν ὁμολογίαν; ΠΩΛ. Οὐκ ἔστιν. ΣΩ. Ἀληθῆ ἄρα ἐγὼ k) ἔλεγον, λέγων ὅτι ἔστιν ἄνθρωπον ποιοῦντα ἐν πόλει ἃ δοκεῖ αὐτῷ, μὴ μέγα δύνασθαι, μηδὲ ποιεῖν ἃ βούλεται. ΠΩΛ. Ὡς δὴ σὺ, ὦ Σώκρατες, οὐκ ἂν δέξαιο ἐξεῖναί σοι ποιεῖν ὅ, τι l) δοκεῖ σοι ἐν τῇ πόλει, μᾶλλον ἢ μὴ, οὐδὲ ζηλοῖς ὅταν ἴδῃς τινὰ ἢ ἀποκτείναντα ὃν ἔδοξεν αὐτῷ, ἢ ἀφελόμενον m) χρήματα, ἢ δήσαντα; ΣΩ. Δικαίως λέγεις, ἢ ἀδίκως; ΠΩΛ. Ὁπότερ' ἂν ποιῇ, οὐκ ἀμφοτέρως ζηλωτόν ἐστιν; ΣΩ. Εὐφήμει, ὦ Πῶλε. ΠΩΛ. Τί δή; ΣΩ. Ὅτι οὐ χρὴ οὔτε τοὺς ἀζηλώτους ζηλοῦν, οὔτε τοὺς ἀθλίους· ἀλλ' ἐλεεῖν. ΠΩΛ. Τί δαί n); οὕτω σοὶ δοκεῖ ἔχειν περὶ ὧν ἐγὼ λέγω τῶν ἀνθρώπων; ΣΩ. Πῶς γὰρ οὔ; ΠΩΛ. Ὅστις οὖν ἀποκτίννυσιν o) ὃν ἂν δόξῃ αὐτῷ, δι-

i) Pronomen ταύτῃ vel aliunde huc profectum esse adeoque eiici debere existimo, vel est idem, quod οὕτως s. τούτῳ τῷ τρόπῳ. Ficinus prorsus non expressit.

k) Stob. Gesner. omisit ἐγὼ.

l) Ald. Bas. 1. 2. ὅτι.

m) Recepi auctoritate vtriusque cum Codicis, tum Stobaei et Bas. 2. ἀφελόμενον pro ἀφελόντα, quod est in Ald. Bas. 1. et Stephan. Plato enim ante vsus est Medio, et postea eo vtitur.

n) Sic Stob. Trincauell. pro vulgato, τί δὲ; Vid. Fischer. V. C. ad Euthyphr. 4, 3. Post articulus τῶν ante Genitiuum ἀνθρώπων in Cod. vtroque desiderabatur.

o) Stob. Trincauell. ἀποκτείνυσιν, et post ἀποκτεινὺς. Stob. Gesner. ἀποκτείννυσιν et ἀποκτειννὺς. Bas. 2. ἀποκτιννύει. Thom. Mag. Ἀποκτιννύναι βέλτιον, ἢ ἀποκτιννύειν. Consule Fischer. V. C. ad Apol. 18, 9.